*δὲ καὶ γράφειν τι τοὺς τοιούτους καὶ διαλέγεσθαι κατ᾽ ἰδίαν.* D *ὁ μὲν γὰρ Στωικὸς Ἀντίπατρος* (fr. 5), *ὡς ἔοικε, μὴ δυνάμενος μηδὲ βουλόμενος ὁμόσε χωρεῖν τῷ Καρνεάδῃ μετὰ πολλοῦ ῥεύματος εἰς τὴν Στοὰν φερομένῳ, γράφων δὲ καὶ πληρῶν τὰ βιβλία τῶν πρὸς αὐτὸν ἀντιλογιῶν ʽκαλαμοβόας᾽ ἐπεκλήθη· τὸν δ᾽ ἀδολέσχην ἴσως ἂν ἡ πρὸς τὸ γραφεῖον σκιαμαχία καὶ βοὴ τοῦ πλήθους ἀπερύκουσα καθ᾽ ἡμέραν ἐλαφρότερον παρασκευάσειε τοῖς συνοῦσιν, ὥσπερ οἱ κύνες εἰς λίθους καὶ ξύλα τὸν θυμὸν ἀφέντες ἧττόν εἰσι χαλεποὶ τοῖς ἀνθρώποις. ἁρμόσει δ᾽ αὐτοῖς σφόδρα καὶ τὸ μετὰ κρειττόνων ἀεὶ καὶ πρεσβυτέρων* E *ὁμιλεῖν· αἰσχυνόμενοι γὰρ αὐτῶν τὴν δόξαν ἐν ἔθει γενήσονται τοῦ σιωπᾶν.*

*Τούτοις δ᾽ ἀεὶ δεῖ καταμεμῖχθαι καὶ συμπεπλέχθαι τοῖς ἐθισμοῖς τὴν προσοχὴν ἐκείνην καὶ τὸν ἐπιλογισμόν, ὅταν τι μέλλωμεν λαλεῖν καὶ τὰ ῥήματα τῷ στόματι προστρέχῃ, ʽτίς οὗτος ὁ λόγος ὁ ἐφεστὼς καὶ καταβιαζόμενος; ἐπὶ τί δ᾽ ἡ γλῶσσ᾽ ἀσπαίρει; τί δ᾽ εἰπόντι περιγίγνεται καλὸν ἢ τί σιωπήσαντι δυσχερές;᾽ οὐ γὰρ ὡς βάρος τι δεῖ πιέζον ἀποθέσθαι τὸν λόγον (ἐπεὶ παραμένει γε καὶ ῥηθεὶς ὁμοίως), ἀλλ᾽ ἢ δι᾽ αὐτοὺς ἄνθρωποι δεόμενοί τινος λαλοῦσιν ἢ τοὺς ἀκούοντας ὠφελοῦντες ἢ χάριν τινὰ παρασκευάζοντες ἀλλήλοις ὥσπερ ἁλσὶ τοῖς* F *λόγοις ἐφηδύνουσι τὴν διατριβὴν καὶ τὴν πρᾶξιν, ἐν ᾗ τυγχάνουσιν ὄντες. εἰ δὲ μήτε τῷ λέγοντι χρήσιμον μήτ᾽ ἀναγκαῖον τοῖς ἀκούουσι τὸ λεγόμενον ἡδονὴ δὲ καὶ χάρις*